# 29 OCTOMBRIE

# PARACLISUL SF.CUVIOASE-MUCENITE ANASTASIA DE LA ROMA

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΣΙΣ ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ ΤΗΣ ΡΩΜΑΙΑΣ

Ποίημα Μητροπολίτου Ρόδου Κυρίλλου

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος καὶ τὰ κάτωθι Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀκολουθήσασα πιστῶς τῷ Κυρίῳ, ἀσκητικῶν σου ἀρετῶν τοῖς ἀγῶσι, πρὸς τὸν νυμφῶνα ἔδραμες, αὐτοῦ μαρτυρικῶς, ἔνθα ἀπολαύουσα, τῆς ἀτέρμονος δόξης, σὺν Μαρτύρων τάγμασι, καὶ Ὁσίων χορείαις, Ἀναστασία πρέσβευε ἀεί, ὑπὲρ ἡμῶν τῶν ἐν ὕμνοις τιμώντων σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν' Ψαλμός καὶ ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχὶς κατ᾽ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις· *Κυρίλλου.*

## Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἁγίων συνοῦσα ἐν οὐρανοῖς, τῇ θείᾳ χορείᾳ, Ἀθληφόρος ὡς εὐκλεής, πρέσβευε Χριστῷ Ἀναστασία, τοῦ δωρηθῆναι ἡμῖν χάριν ἄφθονον.

Βιώσασα βίον ἀσκητικόν, τῷ Κτίστῃ συνήφθης, δι᾽ ἀγώνων μαρτυρικῶν· διὸ θαυμαστὴ Ἀναστασία, ἁμαρτιῶν ἡμῖν αἴτει τὴν ἄφεσιν.

Γαλήνης τῆς ἄνω τὸν μυστικὸν, λιμένα εὑροῦσα, Ἀθληφόρος ὡς εὐκλεής, παθῶν ἡμᾶς πάντας τρικυμίας, Ἀναστασία ἐν τάχει διάσωσον.

Θεοτοκίον.

Καταύγασον θείαις μαρμαρυγαῖς, Ἄχραντε Παρθένε, χάριτός σου τῆς μητρικῆς, τὴν ἐν ἁμαρτίας σκοτοδίνῃ, ἐζοφωμένην ἀθλίως καρδίαν μου.

## Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Δωρεὰς ἰαμάτων, παρὰ Θεοῦ ἔχουσα, ὡς ἡγιασμένη Ὁσία, καὶ Μάρτυς ἔνδοξος, ψυχῆς καὶ σώματος, Ἀναστασία θεόφρον, ἴασαι τὴν κάκωσιν, τῶν προστρεχόντων σοι.

Εὐμενείας πλουτοῦσα, θεοειδὲς χάρισμα, τοὺς ἐν ψυχικῇ ἀθυμίᾳ, ἡμᾶς ὑπάρχοντας, τῇ ἀντιλήψει σου, πνευματικῆς θυμηδίας, καὶ χαρᾶς ἀξίωσον, Μάρτυς πανεύφημε.

Ζήλου θείου πλησθεῖσα, ἀσκητικῶς ἔζησας, καὶ μαρτυρικῶς πρὸς νυμφῶνα, τῆς δόξης ἔδραμες, ἔνθα χορεύουσα, Ἀναστασία θεόφρον, καὶ ἡμῶν μνημόνευε, τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Ὑπερύμνητε Μῆτερ, ὑπὲρ ἡμῶν πρέσβευε, τῷ ἐνανθρωπήσαντι Λόγῳ, ἐκ τῶν αἱμάτων σου, ὡς ἂν ῥυώμεθα, πάσης ἐν βίῳ ἀνάγκης, οἱ ὑμνολογοῦντές σε, τὴν Θεομήτορα.

Διάσωσον Ἀναστασία Κυρίου Ὁσιομάρτυς, τοὺς τῇ πρεσβείᾳ σου πίστει προστρέχοντας, ἀπὸ κινδύνων παντοίων καὶ νοσημάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β’. Πρεσβεία θερμή.

Φλεχθεῖσα Χριστοῦ, τῷ πόθῳ ἐκ νεότητος, ὁσίαν ζωήν, ταῖς ἀρεταῖς ἐξήσκησας, καὶ ἀνδρείως ἤθλησας· διὰ τοῦτο πάντες τιμῶμέν σε, Ἀναστασία Μάρτυς θαυμαστή, τὴν χάριν αἰτοῦντες τῆς πρεσβείας σου.

Ὠιδὴ δ’. Εἰσακήκοα Κύριε.

Ἡ σεπτή σου ἀντίληψις, γένοιτό μοι ἔπαλξις ἀπροσμάχητος, πᾶσαν ἔφοδον ἀπείργουσα, ὦ Ἀναστασία τοῦ ἀλάστορος.

Θαυμαστῶς ἐπιφάνηθι, τοῖς πιστοῖς ἱκέταις σου διασῴζουσα, τὴν ζωὴν αὐτῶν ἐκ θλίψεων, ὦ Ἀναστασία καὶ κακώσεων.

Ἰατρείας ἀξίωσον, ὡς θαυμάτων ἔχουσα χάριν ἄφθονον, τοὺς ἐν νόσοις κινδυνεύοντας, ὦ Ἀναστασία καλλιπάρθενε.

Θεοτοκίον.

Ῥύπον πάντα Πανάχραντε, ἐκ ἀπροσεξίας μου προστριβέντά μοι, ἱκετεύω σε ἀπόπλυνον, ὕδατι θερμῆς σου ἀντιλήψεως.

Ὠιδὴ ε’. Φώτισον ἡμᾶς.

Κόσμου τῶν τερπνῶν, ἡ προφρόνως ἀλογήσασα, τὴν ζωὴν ἡμῶν πρὸς κτῆσιν ἀρετῶν, ἀσφαλῶς Ἀναστασία καθοδήγησον.

Λάμπρυνον φωτί, τῆς πλουσίας σου χρηστότητος, τὴν διάνοιαν ἡμῶν τῶν εὐσεβῶς, ἐν ᾠδαῖς Ἀναστασία εὐφημούντων σε.

Μύρισον ἡμῶν, τῶν ψυχῶν τὰ αἰσθητήρια, μυρισμῷ Ἀναστασία νοητῷ, τῆς ὑψόθεν σοι δοθείσης θείας χάριτος.

Θεοτοκίον.

Ἴδε συμπαθῶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, καὶ παράσχου μοι ὑγείαν σταθηράν, ἡ τὸν μέγαν ἰατρὸν Χριστὸν κυήσασα.

Ὠιδὴ στ’. Τὴν δέησιν ἐκχεῶ.

Νικήσασα τὸν δεινὸν πολέμιον, δι᾽ ἀσκήσεως συντόνων ἀγώνων, Ἀναστασία Μαρτύρων ἐν ἄθλοις, τοῦτον εἰς τέλος οἰκτρῶς ἐταπείνωσας· ὅθεν ἀπήμονα ἡμᾶς, τῆς αὐτοῦ κακουργίας συντήρησον.

Ξενίας σε οὐρανῶν ἠξίωσεν, ὁ Χριστὸς Ἀναστασία θεόφρον· σὺ γὰρ οὐράνιον ζήσασα βίον, τῷ μαρτυρίῳ αὐτὸν ἐπεσφράγισας· διὸ οὐράνωσον ἡμῶν, τὰς ψυχὰς τῇ δοθείσῃ σοι χάριτι.

Ὀμβρίζουσα τῇ θερμῇ πρεσβείᾳ σου, εὐσπλαγχνίας τοῦ Κυρίου τὰ ῥεῖθρα, Ἀναστασία θεόφρον μὴ παύσῃ, τοῖς ταπεινοῖς σου ἱκέταις δεόμεθα· τὴν παῤῥησίαν γὰρ πολλήν, ὡς Ὁσία καὶ Μάρτυς ἀπέλαβες.

Θεοτοκίον.

Λαμπρότατον τοῦ Θεοῦ ἀνάκτορον, ἀναδέδειξαι Παρθένε Μαρία, τῆς Παναγίας Τριάδος τὸν ἕνα, δίχα τροπῆς καὶ φυρμοῦ σωματώσασα. Ὅθεν καταύγασον ἡμῶν, τὰς καρδίας φωτὶ τῶν χαρίτων σου.

Διάσωσον Ἀναστασία Κυρίου Ὁσιομάρτυς, τοὺς τῇ πρεσβείᾳ σου πίστει προστρέχοντας, ἀπὸ κινδύνων παντοίων καὶ νοσημάτων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τοῖς τῶν αἱμάτων σου λύθροις φοινίξασα, Ἀναστασία ἁγνείας τὸ ἔνδυμα, Νυμφίον ἐκτήσω τὸν Κύριον· διὸ αὐτὸν ἐκτενῶς καθικέτευε, σωθῆναι τοὺς πόθῳ τιμῶντάς σε.

Προκείμενον. Ἦχος δ’. *Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

Στίχ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια’ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τῆς Ἀθληφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Προσόμοιον. Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.

Δόξαν τὴν φερώνυμον, τῆς Ἀναστάσεως Μάρτυς, ὡς κληρονομήσασα, τῶν διττῶν ἀγώνων σου,

κατορθώμασιν, είς τὸν ὑπέρλαμπρον, τῆς ζωῆς νυμφῶνα, κατ᾽ ἀξίαν ἐσαββάτισας, ἔνθα μετέχουσα, τῆς τῶν ἐκλεκτῶν πανηγύρεως, καὶ δόξης ἀπολαύουσα, τοῦ ὡραιοτάτου Νυμφίου σου, προστάτευε πάντων, τῶν ἐπικαλουμένων εὐσεβῶς, Ἀναστασία τὴν χάριν σου, καὶ ὑμνολογούντων σε.

Ὠιδὴ ζ᾽. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πειρασμῶν ἀδοκήτων, ἀνωτέρους συντήρει, Ἀναστασία σεμνή, ἡμᾶς τοὺς ἐκ καρδίας, τιμώντων σου τὰ ἄθλα, δι᾽ ὧν τέλεον ᾔσχυνας, ἐν καρτερίᾳ πολλῇ, ἐχθροῦ τὰς μεθοδείας.

Ῥαθυμίας ἀτόπου, ψυχικῆς ἀκηδίας, καὶ πονηρῶν συστροφῶν, σεμνὴ Ἀναστασία, ἀπήμονας συντήρει, τοὺς ὑμνοῦντας τὴν δόξαν σου, δι᾽ ἧς ὡς μέγας φωστήρ, τοῖς πέρασιν ἐκλάμπεις.

Σὺ ἡ Νύμφη Κυρίου, ἡ καλὴ καὶ ὡραία, Ἀναστασία σεμνή, παράκλησις γλυκεῖα, γενοῦ τοῖς ἐκ καρδίας, ὑμνῳδίαν προσφέρουσι, τοῖς θαυμασίοις τοῖς σοῖς, δι᾽ ὧν Χριστὸς αἰνεῖται.

Θεοτοκίον.

Λυτρωτὴν τοῖς ἀνθρώποις, ὑπὲρ φύσιν Παρθένε, ἀπογεννήσασα, παθῶν τῆς τυραννίδος, εὐσπλάγχνως λύτρωσαί με, ἵνα πίστει κραυγάζω σοι· χαῖρε Μαρία Ἁγνή, ἡ δόξα τῶν Ἀγγέλων.

## Ὠιδὴ η’. Τὸν Βασιλέα.

Τῆς βοηθείας, τῆς σῆς ἡμᾶς μὴ στερήσῃς, τοὺς προστάτιν σε καλὴν Ἀναστασία, ἐπικαλουμένους, ἐν θλίψεσι τοῦ βίου.

Ὕμνοις σε πόθῳ, Ἀναστασία τιμῶντες, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Χριστὸν ἐκδυσώπει, εἰρήνην κόσμῳ δοῦναι.

Φῶς ἡμῖν αἴτει, Ἀναστασία θεόφρον, τοῖς ὑπάρχουσιν ἐν σκότει ἀκηδίας, ὡς φωτὸς οἰκοῦσα, σκηνὰς τὰς αἰωνίους.

Θεοτοκίον.

Ὅρμον Παρθένε, ἐν πειρασμῶν τῷ πελάγει, τῆς πρεσβείας σου εὑράμενοι τὴν χάριν, μακαρίζομέν σε, ὡς μόνην Θεοτόκον.

## Ὠιδὴ θ’. Κυρίως Θεοτόκον.

Χριστῷ Ἀναστασία, ὡς παρισταμένη, ἐν τῆς ζωῆς τοῖς ἀφθάρτοις σκηνώμασι, πάντας βοήθει καὶ σκέπε, τοὺς εὐφημοῦντάς σε.

Ψυχῶν τε καὶ σωμάτων, δίδου εὐρωστίαν, Ἀναστασία Χριστοῦ καλλιπάρθενε, τοῖς προσιοῦσιν ἐκ πόθου, τῇ ἀντιλήψει σου.

Ὢ Μάρτυς ἐν Ὁσίαις, νύμφη τοῦ Δεσπότου, Ἀναστασία τῆς Ῥώμης ἀγλάϊσμα, εὐεργετοῦσα μὴ παύσῃ, τοὺς προσιόντας σοι.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, ἡ τὸν Θεὸν ἀπειράνδρως κυήσασα, αὐτὸν δυσώπει σωθῆναι, τοὺς ὑμνολόγους σου.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Χαίροις τῶν Ὁσίων κλέος σεπτόν, καὶ τῶν Ἀθληφόρων, ἐγκαλλώπισμα ἱερόν· χαίροις τῶν θαυμάτων, κρουνὸς ὁ πολυχεύμων, σεμνὴ Ἀναστασία, Ῥώμης τὸ βλάστημα.

Βίον μετελθοῦσα ἀσκητικόν, ἤρθης πρὸς τὴν δόξαν, τοῦ Δεσπότου μαρτυρικῶς, αὐτὸν δυσωποῦσα, ἀεὶ Ἀναστασία, σωθῆναι τοὺς τιμῶντας, τὴν θείαν μνήμην σου.

Πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐν τῷ Ναῷ σου, προστρεχόντων πίστει θερμῇ, ἵνα λυτρωθῶμεν, Ἀναστασία Μάρτυς, ἐκ πάσης δυσχερείας, καὶ περιστάσεως.

Τοὺς ἀνακειμένους πανευλαβῶς, Μάρτυς τῇ δυνάμει, τῆς πρεσβείας σου πρὸς Θεόν, μὴ ἀποστερήσῃς, σεμνὴ Ἀναστασία, ἐκφάνσεων τῶν θείων, τῆς προστασίας σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, Ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ Ἀπόλυσις μεθ᾽ ἣν ψάλλομεν τὰ κάτωθι.μἮχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Φρόνημα γεῶδες τῆς σαρκός, ἐγκρατείας κτείνασα πόνοις, Ἀναστασία σεμνή, χάριτος τὴν ἄμαχον, ἰσχὺν ἐνδέδυσαι, δι᾽ ἧς ὤφθης ἀήττητος, ἐν τῷ μαρτυρίῳ, καὶ ἐχθρὸν ἐπάτησας, τὸν παναλάστορα. Ὅθεν τοὺς στεφάνους λαβοῦσα, πρέσβευε ἀεὶ ὑπὲρ πάντων, τῶν ἀνευφημούντων σε πολύαθλε.

Τὴν πᾶσαν ἐλπίδα μου, είς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δίστιχον.

*Πρόσδεξαι τήνδε φωνὴν Ἀναστασία,*
*Κύριλλος Ῥόδου ἣν σοὶ ἀναπέμπει.*